την[563], ἀνδρὸς ἀποροῦσαν[564] διὰ πενίαν, κατήγαγον[565] Ἀθήναζε, καὶ συνοικήσαντες[566] ἀνδρὶ τῶν εὖ γεγονότων[567], τὸ Ποταμοῖ[568] χωρίον εἰς φερνὴν ἐπέδωκαν. Ὡς φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται δικαίως.

---

# ΠΛΟΥΤΑΡΧΟΥ ΕΚ ΤΟΥ ΚΙΜΩΝΟΣ

Ὁ λόγος αὐτὸς εἶναι ὁ δέκατος τρίτος τῶν Παραλλήλων. Ἀντιπαραβάλλεται δὲ ὁ Κίμων πρὸς τὸν Ῥωμαῖον Λεύκιον Λούκουλλον.

(Ἀφῃρέθησαν οἱ 3 πρῶτοι § ἀφορῶντες σύγκρισιν τοῦ Κίμωνος καὶ τοῦ Ῥωμαίου Λουκούλλου.)

ΚΙΜΩΝ ὁ Μιλτιάδου, μητρὸς[1] ἦν Ἡγησιπύλης, γένος[2] Θρᾴττης[3], θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου[4] καὶ Μελανθίου[5] ποιήμασιν εἰς αὐτὸν Κίμωνα[6] γεγραμμένοις ἱστόρηται. Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικός, τοῖς περὶ Κίμωνα[7] κατὰ γένος[8] προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν[9], καὶ τὰ χρυσεῖα[10] περὶ τὴν Θρᾴκην ἐκέκτητο. Καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ[11], τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον, λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις[12] δείκνυται παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. Ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος[13] γέγονε τὸν δῆμον, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι[14]. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην[15] καὶ πρὸς[16] τὴν ἔκτισιν εἰρχθείς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. Κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει[17] χρόνον ἐν τῇ πόλει, καὶ κακῶς ἤκουεν[18], ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι[19] προσεοικὼς τὴν φύσιν· ὃν δι' εὐήθειάν φασι Κοάλεμον[20] προσαγορευθῆναι. Στησίμβροτος δὲ ὁ Θάσιος[21], περὶ τὸν αὐτὸν ὁμοῦ τι[22] χρόνον τῷ Κίμωνι γεγονώς, φησίν, αὐτὸν οὔτε μουσικὴν[23], οὔτ' ἄλλο τι μάθημα τῶν ἐλευθερίων[24] καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων[25] ἐκδιδα-

---

563) Ἔζη ταπεινῶς. 564) Μὴ δυναμένη νὰ νυμφευθῇ. 565) Τὴν ἐκατέβασαν, τὴν μετεκάλεσαν. 566) Ὑπανδρεύσαντες. 567) Εὐγενῶν. 568) Τῇ ἔδωκαν εἰς προῖκα τὸν τόπον ὁ ὁποῖος εἶναι εἰς Ποταμούς. Ποταμοὶ δὲ δῆμος Ἀθηνῶν.

1) Υἱός. 2) Κατὰ τὸ γ'. 3) Ἐκ Θρᾴκης. 4) Ποιητὴς ἐκ Χερσονήσου, ἀκμάσας τὸν Ε. αἰῶνα π. Χ. τρία ἐπιγράμματά του σώζονται. 5) Δραματικὸς ποιητὴς ἐξ Ἀθηνῶν.

6) Περὶ αὐτοῦ τοῦ Κ. 7) Τῷ Κίμωνι. 8) Συγγενικῶς. 9) Δηλ. λαβόντος τὸ αὐτὸ ὄνομα τοῦ προγόνου του. 10) Μεταλλεῖα χρυσοῦ. 11) Ὄνομα πόλεως. 12) Μνήμασιν. Εἰς τὰς Μελιτίδας πύλας, ἐν Κοίλῃ. 13) Ἁλιμοῦς, δῆμος τῆς Ἀττικῆς παρὰ τὸ Φαληρόν.

14) Δῆμος τῆς Ἀττικῆς εἰς τὸν δρόμον τῆς Ἐλευσῖνος. 15) Εἰς 50 ταλάντων ζημίαν καταδικασθείς. 16) Διά. 17) Ἀδόξως διετέλει. 18) Ἐκατηγορεῖτο. 19) Τῷ πάππῳ τοῦ Μιλτιάδου. 20) Κωμικὴ λέξις σημαίνουσα ἀνόητον. 21) Ῥαψῳδός. Συνέγραψεν ὁμηρικὴν φυσιολογίαν, μὴ διασωθεῖσαν. 22) Περίπου. 23) Ἡ μουσικὴ ἀπετέλει μέρος σπουδαῖον τῆς ἀγωγῆς τῶν Ἑλλήνων, ὡς ῥυθμίζουσα τὴν ψυχήν. Ἀλλὰ Μουσική, παρὰ τοῖς ἀρχαίοις, ἐκαλεῖτο ὅλη ἡ ἐγκύκλιος παιδεία, ἡ ἰδίως Μουσική, ἡ Ποιητικὴ καὶ ἡ Ῥητορική.

24) Τῶν ἀνηκόντων εἰς ἐλευθέρους. 25) Συνήθων.

ΙΩΑΝΝΙΝΑ 2006

χθῆναι· δεινότητός τε[46] καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι[47], καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον[48] καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ μᾶλλον εἶναι Πελοποννήσιον[49] τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

Φαῦλον[50] ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα[51].

* * *

Τὰ δ' ἄλλα πάντα τοῦ ἤθους ἀγαστὰ καὶ γενναῖα τοῦ Κίμωνος. Οὔτε γὰρ τόλμῃ Μιλτιάδου λειπόμενος[52], οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν[53] ὁμολογεῖται γενέσθαι· καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν[54] ἀποδέων[55] ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον[56] ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. Ὅτε γὰρ τὸν δῆμον, ἐπιόντων Μήδων, Θεμιστοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα[57], πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ[58] φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ Θεῷ[59] διὰ χειρῶν[60] κομίζων, ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης· Ἀναθεὶς δὲ τὸν χαλινόν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων[61], καὶ προσευξάμενος τῇ Θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος[62]. Ἦν δὲ καὶ τὴν ἰδέαν[63] οὐ μεμπτός, ὡς Ἴων[64] ὁ ποιητής φησιν, οὔλῃ καὶ πολλῇ τριχὶ κομῶν[65] τὴν κεφαλήν. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας[66] ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτόν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν[67], ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς[68] ὢν τοῦ Θεμιστοκλέους, ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχάς, εὐάρμοστον ὄντα[69] καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. Οὐχ ἥκιστα δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει[70], καὶ ποιούμενος[71] οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

Ἐπεὶ δὲ Μήδων φευγόντων ἐκ τῆς Ἑλλάδος, ἐπέμφθη στρατηγός, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν[72] Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λα-

---

46) Ῥητορικῆς. 47) Ἦτον ἐστερημένος. 48) Πολλὴν γενναιότητα. ἐλλ. ἀντὶ ἄρσ.
49) Οἱ Δωριεῖς καὶ ἰδίως οἱ Πελοποννήσιοι ἦσαν ἁπλούστεροι καὶ εὐθύτεροι ἀπὸ τοὺς Ἀθηναίους. 50) Εὐτελές, ἀφελές. 51) Ὁ στίχος οὗτος περιγράφει τὸν Ἡρακλέα εἰς τὴν μὴ διασωθεῖσαν τραγῳδίαν τοῦ Εὐριπίδου, ἥτις ἐπεγράφετο Λικύμνιος ἐκ τοῦ θείου τοῦ Ἡρακλέους. Φώτ. Σουΐδ. 52) Μένων κατώτερος. 53) Γενικὴ δυϊκή. 54) Κατὰ μικρόν.
55) Ἐλαττούμενος, μένων ὀπίσω. 56) Ὑπερβαλλόντως, ἀδύνατον νὰ εἴπῃ τις πόσον.
57) Διὰ τὸ τ. 58) Τόπος πρὸς δυσμὰς τῶν Ἀθηνῶν, ἐκτὸς καὶ ἐντὸς τῆς πόλεως.
59) Εἰς τὴν Ἀθηνᾶν. 60) Ἀντί: ἐν ταῖς χερσί. 61) Μίαν. 62) Δηλ. ἐμπνεύσας θάρρος.
63) Τὴν μορφήν. ἐλλ. τῆς κατά. 64) Χῖος ποιητὴς τραγικὸς καὶ λυρικὸς τοῦ ὁποίου ὀλίγιστα λείψανα σώζονται. Ἤκμαζε τὸν 5ον αἰῶνα Π. Χ. 65) Στολισμένος.
66) Δόξαν ἢ εὔνοιαν. 67) Ἀρχίσαντα νὰ ἐμβαίνῃ εἰς τὰ πολιτικά. 68) Χορτασμένος, βαρυνόμενος. 69) Ἁρμόζοντα, ἀρέσκοντα. 70) Ὁρῶν ἐν τῷ ἤθει. 71) [illegible] ἐξόμοιον. 72) Τῆς ἡγεμονίας, ἴδε Ἀριστείδ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εγ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε[53] τοὺς πολίτας κόσμῳ τε[54] θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς[55], τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθάδως προσφερομένου[56], καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον[57] ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων[58] πρᾴως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος[59]. Προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. Οἱ δὲ[60] καὶ τούτους ἅμα προσήγοντο, καὶ τοῖς Ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης, καὶ ταραττομένης τῆς Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν.

Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων[61] αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσε, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως[62], Ἠϊόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησι. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν[63], καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βοῦτην[64], τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα[65], τῇ πόλει πῦρ ἐνεῖναι[66], καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. Οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην[67] οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. Καὶ τοὺς Ἑρμᾶς[68] αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ[69].

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοὰς,
Λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

Τῷ δὲ δευτέρῳ,

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων, ἐθελήσει
Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.

---

53) Κάλλιστα. 54) Κατὰ τὴν στρατιωτικὴν διακόσμησιν. 55) Ὁ βασιλεὺς τῆς Σπάρτης Παυσανίας συνεφώνησε μὲ τὸν βασιλέα τῶν Περσῶν νὰ προδώσῃ τοὺς Ἕλληνας. 56) Ἴδε Ἀριστ. σελ. 48. 57) Τῦφον. 58) Δεχόμενος, ὑποστηρίζων. Λ. Σ. Ὑπολαμβάνω, 10, 11.
59) Ἴδε Ἀρ. § 23. 60) Ὁ Ἀρ. ἢ ὁ Κ. 61) Προστεθέντων εἰς τὸ μέρος τι. 62) Ἀνάρθρως ὡς κύριον ὄνομα, διότι ἐξόχως Βασιλέα ἢ Μέγαν Βασιλέα ὠνόμαζον τὸν τῶν Περσῶν.
63) Μετοικίζων ἀπὸ τὴν πατρίδα των. 64) Κατ' ἄλλους Βόγην, Βοὴν, ἢ Βόργην.
65) Ἀπελπισθεὶς περὶ τῆς νίκης. 66) Ἐνιέναι. 67) Εὐφορωτάτην. 68) Τετράγωνοι στῆλαι φέρουσαι κεφαλὴν Ἑρμοῦ καὶ ἐπιγράμματα, καὶ στηνόμεναι εἰς τὰς ἀγυιάς.
69) Τὰ ἑπόμενα τρία ἐπιγράμματα ἀναφέρονται καὶ παρ' Αἰσχίνῃ, ἐν τῷ κατὰ Κτησιφῶντος. Ὅπου ἴδε αὐτὰ ἐσχολιασμένα, διότι ἐκεῖ εἶναι εὐκολώτερον νὰ ἐξηγηθῶσιν εἰς τὸν μᾶλλον προοδεύσαντα μαθητήν.

Τῷ δὲ τρίτῳ,

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρεΐδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον.
Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Ταῦτα, καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν
ἔχειν[70] ἐδόκει τοῖς τότε ἀνθρώποις. Οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινὸς
οὔτε Μιλτιάδης ἔτυχεν· ἀλλὰ τούτῳ γε, θαλλοῦ[71] στέφανον αἰτοῦντι, Σωχά-
ρης[72] ὁ Δεκελεὺς[73] ἐκ μέσου τῆς ἐκκλησίας ἀναστάς, ἀντεῖπεν, οὐκ εὐγνώμονα[74]
μὲν ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφείς[75]. «Ὅταν γάρ, ἔφη, μόνος ἀγω-
νισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος
ἀξίου». Διὰ τί τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι, τῶν μὲν
ἄλλων στρατηγούντων, ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους[76],
τούτου δὲ[77], καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν, ἐπὶ τὴν ἐκείνων[78] αὐτοὶ στρα-
τεύσαντες, καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν Ἠιόνα[79] καὶ τὴν Ἀμ-
φίπολιν[79] οἰκίσαντες. Ὤκισαν δὲ καὶ Σκῦρον, ἑλόντος Κίμωνος ἐξ αἰτίας
τοιαύτης. Δόλοπες[80] ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς· λῃζόμενοι[81] δὲ
τὴν θάλασσαν ἐκ παλαιοῦ[82] τελευτῶντες[83] οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς
καὶ χρωμένων[84] ἀπείχοντο[85] ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ
τὸ Κτήσιον[86] ὁρμισαμένους συλήσαντες εἷρξαν. Ἐπεὶ δὲ διαδράντες ἐκ τῶν
δεσμῶν οἱ ἄνθρωποι δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικήν[87], οὐ
βουλομένων τὰ χρήματα τῶν πολλῶν[88] συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας
καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι, πέμπουσι γράμ-
ματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πό-
λιν ὑπ' αὐτῶν ἐνδιδομένην[89]. Παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ Κίμων, τοὺς
μὲν Δόλοπας ἐξήλασε καὶ τὸν Αἰγαῖον[90] ἠλευθέρωσε. Πυνθανόμενος δὲ τὸν
παλαιὸν Θησέα, τὸν Αἰγέως, φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ[92]
δ' ἀποθανόντα[91] δόλῳ διὰ φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε
τὸν τάφον ἀνευρεῖν. Καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις τὰ Θησέως λείψανα
κελεύων ἀνακομίζειν εἰς ἄστυ, καὶ τιμᾶν ὡς ἥρωα πρεπόντως. Ἀλλ' ἠγνόουν

---

70) Ὅτι περιεῖχον. 71) Κλάδος ἐλαίας ἦτον ὁ κοινότερος στέφανος. Μᾶλλον διακεκριμένος ἦτον ὁ χρυσοῦς στέφανος. 72) Καθ' Ἡρόδοτον, Σωφάνης. 73) Δεκέλεια, δῆμος τῆς Ἀττικῆς κατὰ τὸ ὄρος Πάρνηθα, τὴν σήμερον Τατοΐ. 74) Εὐμενῆ. 75) Λόγον εἰπών.
76) Ἀπέκρουον τοὺς πολεμίους ἵνα μὴ πάθωσί τι οἱ ἴδιοι. 77) Στρατηγοῦντος.
78) Γῆν. 79) Εἰς Θράκην. 80) Οἱ ἀρχαῖοι κάτοικοι ἐλθόντες ἐκ Θεσσαλίας, καὶ ἀρχαιότερον ἀκόμη ἐξ Ἠπείρου. 81) Πειρατεύοντες. 82) Χρόνου. 83) Ἀντί: τέλος πάντων.
84) Ἐχόντων σχέσεις ἐμπορικάς. 85) Δὲν ἐφείδοντο αὐτῶν, ἐλῄστευον καὶ αὐτούς.
86) Κτήσιον ἦτον ἐπίνειον τῆς Κτιμένης, Θεσσαλικῆς πόλεως κατοικουμένης ὑπὸ Δολόπων. Ἀλλ' ἡ περὶ ἧς ἐδῶ ὁ λόγος φαίνεται ὅτι ἦτον ἐπίνειον τῆς Σκύρου.
87) Δηλ. ἐνεκάλεσαν τὴν πόλιν ἐνώπιον τῶν Ἀμφικτυόνων, οἵτινες τὴν κατεδίκασαν. Ἀμφικτύονες δὲ ἦσαν τὸ κοινὸν συνέδριον ὅλων τῶν Ἑλλήνων, συνερχόμενον δὶς κατ' ἔτος εἰς Θερμοπύλας καὶ Δελφούς, καὶ σκεπτόμενον περὶ τῶν κοινῶν συμφερόντων, καὶ τῶν μεταξὺ πόλεων διαφορῶν. 88) Τοῦ λαοῦ τῶν Σκυρίων. 89) Παραδιδομένην.
90) (Πόντον) ἀντὶ τοῦ κοινοτέρου: τὸ Αἰγαῖον (πέλαγος). 91) Ἐπ' αὐτοῦ τοῦ τόπου ἐκεῖ.
92) Φονευθέντα.

ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων, οὐδ' ἐώντων ἀναζητεῖν. Τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ[93] μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὐτοῦ τριήρη τὰ ὀστᾶ, καὶ τἆλλα[94] κοσμήσας μεγαλοπρεπῶς, κατήγαγεν εἰς τὴν αὐτοῦ[95] δι' ἐτῶν σχεδὸν ὀκτακοσίων[96]. Ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν[97]. Ἔθεντο[98] δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν[99] ὀνομαστὴν γενομένην. Πρώτην γὰρ διδασκαλίαν[100] τοῦ Σοφοκλέους ἔτι νέου καθέντος[101], Ἀψεφίων[102] ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως[103] τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος· ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας[104], ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. Ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε[105]. Νικήσαντος δὲ τοῦ Σοφοκλέους, λέγεται τὸν Αἰσχύλον[106], περιπαθῆ γενόμενον[107] καὶ βαρέως ἐνεγκόντα[108], χρόνον οὐ πολὺν Ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν[109] εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

Συνδειπνῆσαι δὲ τῷ Κίμωνί φησιν ὁ Ἴων, παντάπασι μειράκιον, ἥκων εἰς Ἀθήνας ἐκ Χίου, παρὰ Λαομέδοντι· καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος[110] ᾆσαι καὶ ᾄσαντος οὐκ ἀηδῶς, ἐπαινεῖν τοὺς παρόντας ὡς δεξιώτερον Θεμιστοκλέους· Ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν[111], οὐδὲ κιθαρίζειν· πόλιν δὲ ποιῆσαι μεγάλην[112] καὶ πλουσίαν ἐπίστασθαι. Τοὐντεῦθεν, οἷον εἰκὸς[113] ἐν πότῳ, τοῦ λόγου ῥυέντος[114] ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων[115], αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. Ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι, τῷ Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτούς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον[116] αὐτῶν ἔθηκεν, ᾐτιῶντο[117] τὴν διανομὴν ὡς ἄνισον. Ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν[118] Ἀθηναίους. Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον[119] ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ

---

93) Τάφου. 94) Κατὰ τ' ἄλλα. 95) Πατρίδα. Ἀλλά τινες ὀρθότερον ἴσως γράφουσιν εἰς τὸ ἄστυ. 96) Μετὰ διάστημα 800 ἐτῶν μετὰ τὸν θάνατόν του. 97) Εὐχαριστήθη. 98) Ὁ δῆμος, διὰ τὸ περιληπτικόν. 99) Εἰς τὰ Διονύσια τὰ μεγάλα, ἡ ἑορτὴν τοῦ Βάκχου παριστάνοντο εἰς τὸ θέατρον τραγῳδίαι, καὶ κληρωτοὶ δικασταὶ ἀπεφάσιζον τὸν νικήσαντα ποιητήν. Τότε ὅμως ἡ κρίσις ἔγινε κατ' ἰδιαίτερον τρόπον. 100) Ἐπειδὴ οἱ ποιηταὶ ἐδίδασκον οἱ ἴδιοι τοὺς ὑποκριτάς, Διδάσκω ἐπεκράτησε νὰ σημαίνῃ συγγράφω δρᾶμα· ὅθεν Διδασκαλία ἐδῶ τὸ Δρᾶμα. 101) Παραστήσαντος. Ἰδ. Καθίημι. Λ. Σ. 102) Ἄρχων τὸ 469 ἔτος Π. Χ. Ὀλ. 77, δ'. Εἰς τὸν βίον Θησέως (§ 36) ὕστερον ἀναφέρει τὴν ἅλωσιν τῆς Σκύρου εἰς τὸ 476 ἔτος Π. Χ. Ὀλ. 76, α'. ἐπὶ Φαίδωνος ἄρχοντος. 103) Ἑτοιμασίας πρὸς ἀντίκρουσιν. 104) Αὐτούς. 105) Ηὔξησε τὴν φιλ. τῶν ποιητῶν. 106) Ὁ Αἰσχύλος ἀνταγωνίζετο πρὸς τὸν Σοφοκλέα. 107) Σφοδρῶς συναισθανθέντα. 108) Μὴ ἠμπορέσαντα νὰ τὸ ὑποφέρῃ. 109) Ἀπὸ θυμόν. 110) Τοῦ Κίμωνος. 111) Φάναι οὐ μαθεῖν. Ὅτι ἐκεῖνος (ὁ Θεμιστοκλῆς) εἶπεν ὅτι δὲν ἔμαθε. 112) Νὰ καταστήσῃ τὴν πόλιν (τὰς Ἀθ.) μεγάλην. 113) Ἐπεὶ γίνεσθαι. 114) Ἦλθε, κατήντησεν ὁ λόγος. 115) Κατορθωμάτων τι. 116) Τὰς στολὰς των. 117) Κατηγόρουν. 118) Ὅτι θέλουσιν εὐχαριστηθῇ μὲ αὐτήν. 119) Κτήματα ἢ ἐνδύματα.

ΙΩΑΝΝΙΝΑ 2006

ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. Καὶ τότε μὲν ὁ Κίμων ἀπῄει, γελοῖος εἶναι δοκῶν διανομεύς, τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ καὶ μανιάκας[130], καὶ στρεπτοὺς[131], καὶ κάνδυας[132], καὶ πορφύραν φερομένων[133], τῶν δ' Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. Μικρὸν δὲ ὕστερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι, καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων[134] ἕκαστον· ὥστε τῷ Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι, καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατηγίας, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον[135] ἀνήλισκεν εἰς τοὺς πολίτας. Τῶν τε γὰρ ἀγρῶν[136] τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν[137] τῆς ὀπώρας· καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μέν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ' ἡμέραν· ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων[138]. Ὡς δ' Ἀριστοτέλης φησίν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. Αὐτῷ δὲ νεανίσκοι παρείποντο συνήθως, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι[139] τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος, ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια· καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. Οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ, σιωπῇ τῶν κερματίων[140] ἐνέβαλον εἰς τὰς χεῖρας· ὧν δὴ καὶ Κρατῖνος[141] ὁ κωμικὸς ἐν Ἀρχιλόχοις[142] ἔοικε μεμνῆσθαι[143].

• •

Ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνος[144] φησὶ τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο[145], χρῆσθαι δὲ ὡς τιμῷτο. Κριτίας δὲ τῶν τριάκοντα[146] γενόμενος, ἐν ταῖς ἐλεγείαις[147] εὔχεται·

> Πλοῦτον μὲν Σκοπαδῶν[148], μεγαλοφροσύνην δὲ Κίμωνος,
> Νίκας δ' Ἀγεσίλα[149] τοῦ Λακεδαιμονίου.

Καίτοι Λίχαν[150] γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδείαις[151] ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. Οἱ μὲν γὰρ[152], ἐφ' οἷς ἡ πόλις μέγα

---

130) Στολὴ ἢ ἴσως ἔνδυμα περὶ τὸν τράχηλον. 131) Ἁλυσσίδες πρὸς στολήν.
132) Περσικοὺς χιτῶνας. 133) Ἀπαγόντων. 134) Ἑλλ. τῆς ἀντί· διὰ πολλὰ χρ-
135) Καλῶς, δηλ. δι' ἀνδρείας τὰ ἐκέρδισεν ἀπὸ τῶν ἐχθρῶν, καὶ κάλλιον, δηλ. πρὸς καλὸν σκοπὸν τὰ ἐξαπάνησε. 136) Τῶν ἰδίων ἀγρῶν τε. 137) Νὰ ἦναι δυνατὸν νὰ λαμβάνωσι. 138) Ἀσχολούμενος. 139) Ἀπήντα. Κ. § 400. 140) (Τινὰ ἐκ) τῶν Κ. 141) Ἀθηναῖος ποιητής, σύγχρονος τοῦ Κίμωνος. 142) Μία τῶν κωμῳδιῶν τοῦ Κρατίνου. Ὁ Ἀρχίλοχος δ' ἦτον ἀρχαιότατος Πάριος Σατυρικὸς ποιητής. 143) Ἀφῃρέθησαν οἱ στίχοι τοῦ Κρατίνου.
144) Περίφημος ῥήτωρ ἐκ Σικελίας, διδάσκαλος τοῦ Ἰσοκράτους. 145) Διὰ νὰ τὰ μεταχειρίζηται. 146) Εἷς τῶν τριάκοντα τυράννων. ἴδ. ἀνωτ. Ξεν. Ἑλλ. Ἱσ. 147) Ἔγραφεν ἐλεγεῖα, εἶδος ποιήσεως λυρικῆς. 148) Τύραννοι τῶν Φερρῶν εἰς Θεσσαλίαν. 149) Τοῦ βα- [illegible] 150) τὴν φιλοξενίαν αὐτοῦ ἀναφέρει καὶ ὁ Ξενοφῶν. 151) Οἱ δημόσιοι ἀγῶνες τῆς πόλεως ὅπου ἠγωνίζετο γυμνὴ ἡ νεολαία τῆς Σπάρτης. 152) Λογίζ. Ἀθηναῖοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

φρονεῖν[133] δικαίως, τό τε σπέρμα τῆς τροφῆς[133*] εἰς τοὺς Ἕλληνας ἐξέδωκαν, ὑδάτων τε πηγαίων χρῆσιν, καὶ πυρὸς ἔναυσιν, ἀνθρώπους ἐδίδαξαν. Ὁ δέ, τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινόν[134], ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχάς, καὶ ὅσα ὧραι καλὰ φέρουσι, χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. Οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο[135] τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης. Ὅς γε καὶ Θεμιστοκλεῖ, πέρα τοῦ δέοντος ἐπαίροντι[136] τὴν δημοκρατίαν ἀντέβαινε μετ' Ἀριστείδου καὶ πρὸς Ἐφιάλτην[137] ὕστερον, χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου Πάγου βουλήν[138], διηνέχθη. Λημμάτων[139] δὲ δημοσίων τοὺς ἄλλους, πλὴν Ἀριστείδου καὶ Ἐφιάλτου, παντὸς ἀναπιμπλαμένους ὁρῶν, αὑτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ[140] τέλους παρέσχε[141]. Λέγεται γέ τοι, Ῥοισάκην τινὰ βάρβαρον, ἀποστάτην βασιλέως, ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας, καὶ σπαραττόμενον[142] ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς Κίμωνα, καὶ θεῖναι παρὰ τὴν αὔλειον[143] αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρῶν ἐμπλησάμενον δαρεικῶν[144], τὴν δὲ χρυσῶν. Ἰδόντα δὲ τὸν Κίμωνα καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται Κίμωνα μισθωτὸν ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φίλον, « Οὐκοῦν (φάναι) ταῦτ' ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς[145], ὅταν δέωμαι φίλος γενόμενος ».

Ἐπεὶ δὲ οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν[146], ἄνδρας δὲ καὶ ναῦς, ὡς ἐτάχθησαν, οὐ παρεῖχον, ἀλλ' ἀπαγορεύοντες[147] ἤδη πρὸς τὰς στρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ' ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων[148] τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν, οὔτ' ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες[149] δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. Κίμων δέ, τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενάς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰκεῖα διατρίβειν, γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους[150] ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. Τῶν δ' Ἀθηναίων ἀνὰ μέ-

---

133) Ἔπραξαν πράγματα διὰ τὰ ὁποῖα ἡ πόλις ὑπερηφανεύεται. 133*) Τὸν σῖτον διὰ τοῦ Τριπτολέμου. Ταῦτα λέγει κατὰ τὸν Ἰσοκράτ. Πανηγυρ. § 6. 134) Διότι εἰς τὸ πρυτανεῖον ἐτρέφοντο δημοσίως οἱ πολῖται ὅσους ἀντήμειβεν ἡ πατρίς. 135) Οἱ λέγοντες ἐπὶ διαβολῇ ὅτι ταῦτα ἦσαν κολακεία, ἀπεδεικνύοντο ψεῦσται ὑπὸ τῆς ἄλλης τοῦ ἀνδρὸς προαιρ. κτλ. 136) Ἀνυψοῦντι, διδόντι δύναμιν εἰς. 137) Περίφημος ῥήτωρ εἰς Ἀθήνας εἰς ἄκρον δημοκράτης. 138) Ἡ βουλὴ τοῦ Ἀρ. Πάγου ἐθεωρεῖτο ὡς ἀριστοκρατική, διότι εἰς αὐτὴν κατετάττοντο διὰ βίου, ὅσοι ἦρξαν καλῶς ἢ δικαίως ἄλλας ἀρχάς. 139) Ἀπολαυῶν, ὠφελημάτων. 140) Μέχρι. 141) Παρέσχεν ἑαυτόν, δηλ. ἐγένετο. 142) Κατενοχλούμενον. 143) Θύραν, τὴν τῆς αὐλῆς πρὸς τὴν ὁδόν. 144) Νόμισμα τῆς Περσίας. Ὑπεννοεῖται στατήρων. 145) Τοῖς Δαρεικοῖς. 146) Ἐπλήρωνον. 147) Βαρυνόμενοι. 148) Ἀναχωρησάντων. 149) Ὑποβάλλοντες. 150) Ἀνεπιτηδείους πρὸς πόλεμον.

ρος[161] πολλοὺς ἐμβιβάζων[162] καὶ διαπονῶν ταῖς στρατείαις, ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. Πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς[163] ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας[164] ἐκ τῆς αὐτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι[165] καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες[166].

Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως[167] οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον, ἢ Κίμων. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον[168], ἀλλ' ὥσπερ ἐκ ποδὸς[169] διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν[170] ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν· ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας[171] παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. Πυθόμενος δὲ τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν, καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον[172] ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων[173] ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριοπίου[174] διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν[175] ὑπὸ τοῦ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις· ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν[176] τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν[177] μαχιμώτεραι προσφέροιντο[178] τοῖς πολεμίοις. Ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν[179], Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει[180], καὶ προσέβαλε τοῖς τείχεσιν. Οἱ δὲ Χῖοι συμπλέοντες αὐτῷ, πρὸς τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια[181] προσκείμενα τοῖς οἰστοῖς, ἐξήγγελλον τοῖς Φασηλίταις. Τέλος δὲ διήλλαξαν αὐτούς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. Ἔφορος[182] μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ Φερενδάτην· Καλλισθένης[183] δ' Ἀριομάνδην τὸν Γωβρύου, κυριώτατον ὄντα τῆς δυνάμεως[184], παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. Ταύτας

---

161) Ἄλλους μετ' ἄλλους. 162) Εἰς τὰ πλοῖα. 163) Ἀνὰ χεῖρας. 164) Ἀσκουμένους. 165) Φοβεῖσθαι αὐτοὺς πλέοντας κτλ. 166) Χωρὶς νὰ τὸ ἐννοήσωσιν ἔγιναν. 167) Τῶν Περσῶν. 168) Δὲν τὸν ἄφησεν ἀφ' οὗ ἔφυγε. 169) Κατὰ πόδας. 170) Τῶν χωρίων αὐτῶν.
171) Ἐπαρχία εἰς τὰ μεσημβρινοανατολικὰ τῆς μικρᾶς Ἀσίας.
172) Τοιαύτην ὥστε νὰ μὴ δύνανται νὰ τὴν πλεύσωσιν ἢ νὰ ἐμβῶσιν εἰς αὐτήν.
173) Νῆσοι κατὰ τὴν Παμφυλίαν. 174) Κνίδος πόλις τῆς Καρίας εἰς τὰ μεσημβρινοδυτικὰ τῆς μικρᾶς Ἀσίας (τὴν σήμερον Καραμανίας). Τριόπιον δὲ ἀκρωτήριον κατ' αὐτήν.
175) Περιστροφήν. 176) Τὰ καταστρώματα ἦσαν, φαίνεται, εἰς τὰ δύο ἄκρα τοῦ πλοίου· προσθέτει λοιπὸν διάβασιν ἢ εἶδος γεφυρῶν αἱ ὁποῖαι τὰ συνέδεον παρὰ τοὺς δύο τοίχους.
177) Διὰ τὸ πλῆθος τῶν ὁπλιτῶν. Πολλοὺς ὁπλ. δεχόμεναι εἰς τὸ κατάστρωμα.
178) Κ. § 400. 179) Εἰς τὰ σύνορα τῆς Λυκίας, ἐπαρχίας πρὸς δυσμὰς τῆς Παμφυλίας.
180) Ἐκακοποίει. 181) Γραμμάτια προσηλωμένα. 182) Ἐξ Αἰτωλίας, περίφημος ἱστορικός, μαθητὴς τοῦ Ἰσοκράτους. Ἔγραψεν εἰς 20 βιβλία γεν. ἱστορίαν, τῆς ὁποίας τεμάχια διέσωσαν οἱ μεταγενέστεροι ἱστορικοί. 183) Ἀνεψιὸς καὶ μαθητὴς τοῦ Ἀριστοτέλους.
184) Γενικὸν ἀρχιστράτηγον.

φθῆναι[185] βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι[186] παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. Οἱ δὲ πρῶτον μέν, ὡς μὴ βιασθεῖεν, τὸν ποταμὸν ἐσωρμίσαντο[187], προσφερομένων δὲ τῶν Ἀθηναίων, ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος[188], ἑξακοσίαις ναυσίν· ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. Ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον[189] οἱ πρῶτοι καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν. Ὧ[190] καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μέν, ὡς εἰκός, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις[191] ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δέ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν[192], ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, καρτερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοί[193] καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. Πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινός, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς[194] ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον[195], ἐπηγωνίσατο ταῖς νίκαις[196], καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν[197], Ὕδρῳ[198] προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν, οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν[199], ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων[200]. ᾟ[201] καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον[202] ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν[203] θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων[204] μακρᾷ νηΐ[205] καὶ χαλκεμβόλῳ[206] μὴ πλέειν. Καίτοι Καλλισθένης[185] οὔ φησ

---

[185]) Νὰ προλάβῃ. [186]) Αὐτούς. [187]) Ὡρμίσαντο εἰς τὸν ποταμόν. [188]) Ἀρχαῖος ἱστορικός, τοῦ ὁποίου τὸ σύγγραμμα ἐπεγράφετο Ἀτθίς. [189]) Ἔπιπτον ἐκ τῶν πλοίων.
[190]) Ἐξ οὗ. [191]) Τοῖς βαρβάροις. [192]) Ὑπερηφανείᾳ διὰ τὴν νίκην των. [193]) Γενναῖοι.
[194]) Κατορθώσας, νικήσας. Καθαιρῶ. Α. Σ. [195]) Ὑπερβαλλόμενος, περάσας τὸ τρόπαιον τῆς Σαλαμῖνος, διότι καὶ ἐπεζομάχησε, καὶ τὸ τῶν Πλαταιῶν, διότι καὶ ἐναυμάχησε.
[196]) Ἐπρόσθεσεν εἰς τὰς νίκας ταύτας καὶ τρίτον ἀγῶνα. [197]) Δὲν μετέσχον.
[198]) Πόλις ἢ νῆσος τῆς Λυκίας, ὡς ἀποδεικνύει καὶ μία ἐπιγραφή. [199]) Οἱ Φοίνικες στρατ. δὲν ἤξευρον τίποτε περὶ τῆς μεγαλητέρας δυν. τῶν Περσῶν. [200]) Ἐδυσπίστουν καὶ ἀμφέβαλλον. [201]) Ὅπῃ, ἀντὶ ὅθεν. [202]) Ὅσον δύναται νὰ τρέξῃ ἔφιππος εἰς μίαν ἡμέραν, ἤτοι 400 στάδια (20 ὥρ.), ὡς λέγει κατωτ. [203]) Ν' ἀπέχῃ ὁ βασιλεύς, δηλ. αἱ δυνάμεις του. [204]) Νῆσοι κατὰ τὴν Παμφυλίαν. [205]) Δηλ. πολεμικῷ. Αἱ ἐμπορικαὶ ἐλέγοντο καὶ ἦσαν κοῖλαι ἢ στρογγύλαι. [206]) Ἐχούσῃ χαλκοῦν ἔμβολον, τὴν ἐμπροσθινὴν μύτην μὲ τὴν ὁποίαν ἐτρύπων τὰ ἐχθρικὰ πλοῖα.

ταῦτα συνθέσθαι[207] τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην[17], ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. Ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ συνήγαγε Κρατερός[208], ἀντίγραφα συνθηκῶν, ὡς γενομένων, κατατέτακται. Φασὶ δὲ, καὶ βωμὸν εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα[209] τιμῆσαι διαφερόντως. Πραθέντων δὲ τῶν αἰχμαλώτων[210] λαφύρων, εἴς τε τἄλλα[211] χρήμασιν ὁ δῆμος ἐῤῥώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότειον τεῖχος κατεσκεύασεν, ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. Λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι[212], συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων[213] ἐμπεσόντων, ἐρεισθῆναι[214] διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. Πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς[215], αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ, τὴν μὲν ἀγορὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς, κατάῤῥυτον ἀποδείξας ἄλσος, ἠσκημένον[216] ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χεῤῥόνησον[217] καταλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ Κίμωνος, μετ' ὀλίγων παντάπασι τριηρῶν Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς, τέσσαρσι μὲν ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν· ἐξελάσας δὲ τοὺς Πέρσας, καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο[218] τῇ πόλει τὴν Χεῤῥόνησον. Ἐκ δὲ τούτου Θασίους[219] μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε, καὶ τὴν πόλιν ἐξεπολιόρκησε[220], καὶ τὰ χρυσεῖα τὰ πέραν[221] Ἀθηναίοις προσεκτήσατο, καὶ χώραν[222], ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν[223], ὡς ἐδόκει, μὴ θελήσας, αἰτίαν ἔσχε[224] δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου[225] συμπεπεῖσθαι· καὶ δίκην ἔφυγε[226], τῶν ἐχθρῶν συστάντων[227] ἐπ' αὐτόν. Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφη προξενεῖν[228], οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέ-

---

207) Φησὶν οὐ συνθέσθαι. 208) Ἴδ. Ἀριστ. 330. 209) Σταλέντα πρέσβυν ἀπὸ αὐτοὺς πρὸς τοὺς Πέρσας. Πιθανῶς ἐκ τῆς οἰκογενείας τοῦ δᾳδούχου Καλλίου περὶ οὗ ἴδε Ἀριστοφ. § δ καὶ 25. 210) Ἐπιθετικῶς, τῶν ἐπὶ τοῦ πολέμου κυριευθέντων λ. 211) Εἰς ἄλλας χρείας. 212) Δύο μακρὰ τείχη ἐξετείνοντο ἀπὸ τὴν Ἀκρόπολιν, τὸ μὲν εἰς τὸν Πειραιᾶ, τὸ δὲ εἰς Φάληρον, ἃ ἕκαστον ὠνομάζετο σκέλος.

213) Τῆς οἰκοδομικῆς ἐργασίας. 214) Ὅτι ἐστερεώθησαν. 215) Τοὺς τόπους πρὸς διασκέδασιν ἐλευθερίαν καὶ γλαφυρὰν ἢ διασκεδαστικήν. 216) Στολισμένον. Δ. Σ. ἀσκῶ, 3'.

217) Τὴν τῆς Θρᾴκης, ἀποτελοῦσαν τὴν ἀρκτικὴν παραλίαν τοῦ Ἑλλησπόντου.

218) Κατέστησεν οἰκείαν, ὑπέταξε. 219) Τοὺς κατοίκους τῆς νήσου Θάσου παρὰ τὴν Θρᾴκην. 220) Ἐκυρίευσε διὰ πολιορκίας. 221) Τὰ χρυσᾶ μεταλλεῖα τὰ ἐπὶ τῆς στερεᾶς ἀπέναντι τῆς Θάσου. 222) Μέρος τῆς ξηρᾶς. 223) Κ. § 439. 6'. ῥᾳδίως παρασχὸν, ἐπειδὴ αἱ περιστάσεις εἶχον πάμπολυ εὔκολον. 224) Κατηγορήθη. 225) Πρόγονος τοῦ Μεγ. Ἀλεξ.

226) Ὑπεβλήθη εἰς δίκην. 227) Συνενωθέντων. 228) Ὅτι δὲν εἶναι ποσῶς (ἄλλοι [λέ-γονται] τινες τῶν κατηγόρων του) πρόξενος τῶν Ἰώνων κτλ. ἀλλὰ τῶν Λακεδαιμονίων.

ρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν[229], ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην· ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι[230]. Μνησθεὶς[231] δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτος, φησὶ τὴν Ἐλπινίκην[232], ὑπὲρ τοῦ Κίμωνος δεομένην, ἐλθεῖν ἐπὶ τὰς θύρας[233] τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος). Τὸν δὲ, μειδιάσαντα, «Γραῦς εἶ, φάναι, γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι[234] πράγματα». Πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι, καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον[235].

Ἐκείνην μὲν οὖν ἀπέφυγε[236] τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ[237] παρὼν μὲν ἐκράτει καὶ συνέστελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίστοις[238], καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. Ὡς δὲ πάλιν ἐπὶ στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες[239] οἱ πολλοί[240], καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον[241], τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον[242], Ἐφιάλτου[247] προεστῶτος, ἀφείλοντο τῆς ἐξ Ἀρείου Πάγου βουλῆς[243] τὰς κρίσεις, πλὴν ὀλίγων, ἁπάσας· καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη καὶ Περικλέους δυναμένου[244], καὶ τὰ τῶν πολλῶν φρονοῦντος[245]. Διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι[246] τὸ ἀξίωμα τοῦ συνεδρίου[247], καὶ πειρωμένου πάλιν ἄνω[248] τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ Κλεισθένους[249] ἐγείρειν ἀριστοκρατίαν, κατεβόων συνιστάμενοι[250], καὶ τὸν δῆμον ἐξηρέθιζον, ἐκεῖνά τε πρὸς τὴν ἀδελφὴν[251] ἀνανεούμενοι καὶ Λακωνισμὸν ἐπικαλοῦντες[252]. Εἰς ἃ καὶ τὰ Εὐπόλιδος[253] διατεθρύλληται περὶ Κίμωνος, ὅτι

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής·
Κἀνίοτ'[254] ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
Κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

Εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε, καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον, ὅτι, νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον, οὔτε τῶν ὕστερον Ἑλλήνων παρῆλθε[255] τὰς πράξεις.

---

Αἱ πόλεις διώριζον προξένους των τινὰς τῶν πολιτῶν ἐκ τῶν πόλεων μεθ' ὧν εἶχον σχέσιν, καὶ αὐτοὶ ἐδέχοντο π. χ. τοὺς ξένους ὅσοι ἤρχοντο ἀπὸ τὴν διορίσασαν πόλιν, καὶ ἄλλας τοιαύτας ὑπηρεσίας ἐχρεώστουν εἰς αὐτήν. 229) Χρήματα. 230) Ἀλλὰ ἀγάλλεσθαι πλουτίζων τὴν πόλιν. 231) Ἀναφέρων. 232) Ἀδελφὴ τοῦ Κίμωνος.

233) Δηλ. εἰς τὸν οἶκον. 234) Ὥστε νὰ κατορθώσῃς. 235) Ὡς διὰ νὰ ἐκπληρώσῃ τὸ χρέος του, ὡς ἀναπαύων τὴν συνείδησίν του. 236) Ἀπελύθη. 237) Εἰς τὸ πολιτικόν στάδιόν του. 238) Καταφερόμενον κατὰ τῶν προυχόντων. 239) Ἀφεθέντες, ἀπερίσταλτοι.

240) Ὁ ὄχλος. 241) Διακόσμησιν, ὀργανισμόν. 242) Τὰ πάτρια... πρότερον· ἐπεξήγησις τοῦ κόσμου, ἴσως προστεθεῖσα ἀπό τινα σχολιαστήν. 243) Ἀπὸ τὴν ἐξ Ἀρ. Π. βουλήν.

244) Δύναμιν ἔχοντος. 245) Ὁμοφρονοῦντος τῷ ὄχλῳ. 246) Διότι ἐπροπηλακίζετο.

247) Τοῦ Ἀρ. Πάγου. 248) Εἰς αὐτόν· λέγει δ' ἄνω, διότι ἦτον τὸ ἀνώτατον δικαστήριον.

249) Ἄρχων ἐν Ἀθήναις, διοργανίσας τὴν πολιτείαν μετὰ τὴν ἔξωσιν τῶν Πεισιστρατιδῶν.

250) Εἰς φατρίας συσσωματούμενοι. 251) Συκοφαντίας κατὰ τῆς ἀδελφῆς του.

252) Ἐγκαλοῦντες αὐτὸν (διὰ) Λακωνισμόν, εὔνοιαν πρὸς τοὺς Λάκωνας. Ἰδ. Ἐπικαλῶ ἐ. Σ. 2). 253) Ἐπῃ. Εὔπολις δὲ Κωμ. ποιητὴς Ἀθην. σύγχρονος τοῦ Κίμωνος.

254) Καὶ ἐνίοτε. 255) Ἤθελεν ὑπερτερήσει. Λέγει ταῦτα πρὸς ἀπόδειξιν ὅτι τὰ κατὰ Κίμωνος ἦσαν συκοφαντίαι.

Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων[256] τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας[257] γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· διὸ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν[258]. Διόδωρος δ' ὁ περιηγητὴς[259] καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν, Θεσσαλόν, ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους[260]. Ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμούντων[261], καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων. Οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας[262] τῶν Σπαρτιατῶν ἀπολαύοντες. Αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχάς, καὶ τὰ συμμαχικὰ[263] πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο[264], τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. Τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν Ἑλληνικῶν[265] διεπράττετο, πρᾴως μὲν τοῖς συμμάχοις, κεχαρισμένως[266] δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. Ἔπειτα δυνατώτεροι γενόμενοι, καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον[267] ὁρῶντες, ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ[268] μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν « Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι ». Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. Ἡ δ' οὖν ἰσχύσασα μάλιστα κατ' αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ, μεγίστου δὴ τῶν μνημονευομένων πρότερον, ἥ τε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε[269] πολλοῖς, καὶ τῶν Ταϋγέτων[270] τιναχθέντων κορυφαί τινες ἀπερράγησαν. Αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη[271], πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειψεν[272] ὁ σεισμός. Ἐν δὲ μέσῃ τῇ στοᾷ[273] γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται, μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι, καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι[274], μετὰ παιδιᾶς[275] ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. Τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν Σεισματίαν προσαγορεύουσι. Ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σώζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν, ὡς πολεμίων ἐπιόντων[276], ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. Ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. Οἱ γὰρ Εἵλωτες[277] ἐκ τῶν ἀγρῶν συν-

---

256) Αὐτοῦ. 257) Ἐκ Κλειτορίας, πόλεως τῆς Ἀρκαδίας. 258) Ὁ Περ. τοὺς προσῆπτε τὸ μητρὸς γένος των. 259) Γεωγράφος ἐκ Χάρακος, ζήσας ἐπὶ Καίσαρος. 260) Ὁ οἶκος τοῦ Μεγακλέους ἦτον εἷς τῶν πρωτίστων ἐν Ἀθήναις. 261) Ἀντιπραττόντων. 262) Ἐκ τῆς εὐν. 263) Περὶ προσκτήσεως τῆς ἐπὶ τῶν συμμάχων ἡγεμονίας. 264) Οἱ Λακεδαιμόνιοι. 265) Αἱ πλεῖσται τῶν περὶ τοὺς Ἕλληνας ὑποθέσεων. 266) Μὲ τρόπον ὥστε νὰ τοὺς εὐχαριστῇ. 267) Σφόδρα προσέχοντα, ὑπεραγαπῶντα τοὺς Σπ. 268) Πράγματι, ἐν πάσῃ περιστάσει. 269) Ἐβυθίσθη. 270) Ὀρέων, κατὰ ῥωμαϊκὴν φράσιν. Συνήθως δὲ ὁ Ταΰγετος καὶ τὸ Ταΰγετον. 271) Κατεκρημνίσθη. 272) Ἐρείπωσε. 273) Εἰς τὸ μέσον τῆς στοᾶς.

274) Ἀλείφω· ἠλείφοντο μὲ ἔλαιον διὰ τὴν πάλην. 275) Παίζοντας. 276), διὰ νὰ τοὺς κάμῃ νὰ πιστεύσωσιν ὅτι ἤρχοντο. Κ. § 130, σημ. δ'. 277) Οἱ ἀρχαῖοι κάτοικοι τῆς Λακωνίας, δορυάλωτοι καὶ δοῦλοι τῶν ἐπελθόντων Δωριέων Σπαρτιατῶν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

ἐξέπνευσεν. Ἀράμενοι δ' αὐτὸν οἱ Πλαταιεῖς, ἔθαψαν ἐν τῷ ἱερῷ τῆς Εὐκλείας Ἀρτέμιδος[424], ἐπιγράψαντες τόδε τὸ τετράμετρον[425].

Εὐχίδας Πυθῶδε θρέξας[426] ἦλθε τᾷδ'[427] αὐθημερόν.

Τὴν δ' Εὔκλειαν οἱ μὲν πολλοὶ καὶ καλοῦσι καὶ νομίζουσιν Ἄρτεμιν, ἔνιοι δέ φασιν, Ἡρακλέους μὲν θυγατέρα καὶ Μυρτοῦς γενέσθαι, τῆς Μενοιτίου μὲν θυγατρός, Πατρόκλου[428] δ' ἀδελφῆς· τελευτήσασαν δὲ παρθένον ἔχειν παρά τε Βοιωτοῖς καὶ Λοκροῖς τιμάς. Βωμὸς γὰρ αὐτῇ καὶ ἄγαλμα παρὰ πᾶσαν ἀγορὰν ἵδρυται, καὶ προθύουσιν[429] αἵ τε γαμούμεναι καὶ οἱ γαμοῦντες.

Ἐκ τούτου[430] γενομένης ἐκκλησίας[431] κοινῆς τῶν Ἑλλήνων, ἔγραψεν Ἀριστείδης ψήφισμα συνιέναι μὲν εἰς Πλαταιὰς καθ' ἕκαστον ἐνιαυτὸν τοὺς ἀπὸ τῆς Ἑλλάδος προβούλους[432] καὶ θεωρούς[433], ἄγεσθαι δὲ πενταετηρικὸν[434] ἀγῶνα τῶν Ἐλευθερίων. Εἶναι δὲ σύνταξιν[435] Ἑλληνικήν, μυρίας μὲν ἀσπίδας[436], χιλίους δὲ ἵππους, ναῦς δ' ἑκατόν, ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον, Πλαταιεῖς δ' ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ[437], θύοντας ὑπὲρ τῆς Ἑλλάδος. Κυρωθέντων δὲ τούτων, οἱ Πλαταιεῖς ὑπεδέξαντο[438] τοῖς πεσοῦσι καὶ κειμένοις αὐτόθι τῶν Ἑλλήνων ἐναγίζειν[439] καθ' ἕκαστον ἐνιαυτόν. Καὶ τοῦτο μέχρι νῦν δρῶσι τοῦτον τὸν τρόπον· τοῦ Μαιμακτηριῶνος[440] μηνός, ὅς ἐστι παρὰ Βοιωτοῖς Ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα πέμπουσι[441] πομπήν, ἧς προηγεῖται μὲν ἅμ' ἡμέρᾳ[442] σαλπιγκτής, ἐγκελευόμενος τὸ πολεμικόν[443], ἕπονται δ' ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων, καὶ μέλας ταῦρος· καὶ χοὰς οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν, ἐλαίου τε καὶ μύρου κρωσσοὺς[444] νεανίσκοι κομίζοντες ἐλεύθεροι. Δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν διακονίαν ἐκείνην προσάψασθαι, διὰ τὸ τοὺς ἄνδρας ἀποθανεῖν[445] ὑπὲρ ἐλευθερίας. Ἐπὶ πᾶσι δὲ τῶν Πλαταιέων ὁ ἄρχων, ᾧ τὸν ἄλλον χρόνον οὔτε σιδήρου θιγεῖν ἔξεστιν, οὔθ' ἑτέραν ἐσθῆτα, πλὴν λευκῆς ἀναλαβεῖν, τότε χιτῶνα φοινικοῦν ἐνδεδυκώς, ἀράμενός τε ὑδρίαν ἀπὸ τοῦ γραμματοφυλακίου[446] ξιφήρης ἐπὶ τοὺς τάφους προάγει διὰ μέσης τῆς πόλεως. Εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς κρήνης, αὐτὸς ἀπολούει τὰς στήλας[447], καὶ μύρῳ χρίει. Καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας, καὶ κατευξάμενος Διὶ καὶ Ἑρμῇ χθονίῳ[448], παρακαλεῖ τοὺς ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντας ἐπὶ τὸ δεῖπνον καὶ τὴν αἱμακουρίαν[449]. Ἔπειτα

---

424) Ἀρτέμιδος τῆς ἐπιλεγομένης Εὐκλείας. 425) Τροχαϊκὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν. 426) Τρέξας. 427) Δωρ. ἀντὶ τῇδε. 428) Τοῦ φίλου τοῦ Ἀχιλλέως ἐξ Ὀπούντος τῆς Λοκρίδος. 429) Θύουσι πρὸ τοῦ γάμου. 430) Μετὰ ταῦτα. 431) Συνελεύσεως. 432) Πρόβουλοι ἦσαν οἱ εἰς συνέδρια ἀποστελλόμενοι σύνεδροι ἀπὸ τὰς διαφόρους πόλεις. 433) Θεωροὶ οἱ ἀπὸ τὰς πόλεις ἐπισήμως στελλόμενοι εἰς διαφόρους πανηγύρεις.

434) Ἀνὰ πᾶν πέμπτον ἔτος, δηλ. μετὰ τέσσαρα ἔτη πάντοτε. 435) Συνεισφορά.

436) Ἀσπιδοφόρους, πεζούς. 437) Νὰ μείνωσιν ὡς καθιερωμένοι εἰς τὸν θεόν, ἄσυλοι, δηλ. χωρὶς κανεὶς νὰ δύναται νὰ τοὺς βλάψῃ. 438) Ἀνεδέχθησαν. 439) Νὰ προσφέρωσι ἐπικηδείους θυσίας. 440) Ὁ πέμπτος μὴν τῶν Ἀθηναίων συμπίπτων μὲ τὸν Νοέμβριον.

441) Πανηγυρίζουσι. 442) Εὐθὺς ὅπου ἐξημερώσῃ. 443) Σαλπίζων τὸ πολεμικὸν σάλπισμα. 444) Σταμνία. 445) Διότι ἀπέθανον. 446) Τὸ οἴκημα ὅπου φυλάττονται τὰ δημόσια ἔγγραφα καὶ ἀρχεῖα. 447) Τὰ μάρμαρα τῶν τάφων τὰ ὁποῖα ἦσαν στῆλαι ὀρθαί.

448) Τῷ ὑπουργῷ, τῷ ἄγοντι τὰς ψυχὰς εἰς τὸν ᾅδην. 449) Θυσία ὑπὲρ τῶν νεκρῶν, Μακαριά, ἐκ τοῦ αἷμα καὶ κορέννυμι.

ΙΩΑΝΝΙΝΑ 2006

κρατῆρα κεράσας οἴνου καὶ χεάμενος[450], ἐπιλέγει. « Προπίνω τοῖς ἀνδράσι τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀποθανοῦσι ». Ταῦτα μὲν οὖν ἔτι διαφυλάττουσιν οἱ Πλαταιεῖς.

Ἐπεὶ δ' ἀναχωρήσαντας εἰς τὸ ἄστυ τοὺς Ἀθηναίους ὁ Ἀριστείδης ζητοῦντας ἑώρα ἀπολαβεῖν τὴν δημοκρατίαν, ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν ἀνδραγαθίαν ἐπιμελείας τὸν δῆμον, ἅμα δ' οὐκ ἔτι ῥᾴδιον ἰσχύοντα τοῖς ὅπλοις, καὶ μέγα φρονοῦντα ταῖς νίκαις, ἐκβιασθῆναι[451], γράφει ψήφισμα, κοινὴν εἶναι τὴν πολιτείαν[452], καὶ τοὺς ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι. Θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος, ὡς ἔχει τι βούλευμα[453] καὶ γνώμην ἀπόρρητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν Ἀριστείδην μόνον ἀκοῦσαι, καὶ συνδοκιμάσαι[454]. Φράσαντος δὲ τῷ Ἀριστείδῃ, ὡς διανοεῖται τὸν ναύσταθμον ἐμπρῆσαι τῶν Ἑλλήνων· οὕτω γὰρ ἔσεσθαι μεγίστους ἁπάντων καὶ κυρίους τοὺς Ἀθηναίους· παρελθὼν[455] εἰς τὸν δῆμον ὁ Ἀριστείδης, ἔφη, τῆς πράξεως, ἣν ὁ Θεμιστοκλῆς πράττειν διανοεῖται, μήτε λυσιτελεστέραν ἄλλην[456], μήτ' ἀδικωτέραν εἶναι. Ταῦτ' ἀκούσαντες οἱ Ἀθηναῖοι, παύσασθαι τὸν Θεμιστοκλέα προσέταξαν. Οὕτω μὲν ὁ δῆμος ἦν φιλοδίκαιος, οὕτω δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.

Ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ Κίμωνος ἐπὶ τὸν πόλεμον, ἑώρα τόν τε Παυσανίαν καὶ τοὺς ἄλλους ἄρχοντας τῶν Σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς συμμάχοις ὄντας, αὐτός τε πρᾴως καὶ φιλανθρώπως ὁμιλῶν[457], καὶ τὸν Κίμωνα παρέχων εὐάρμοστον αὐτοῖς καὶ κοινὸν[458] ἐν ταῖς στρατείαις, ἔλαθε τῶν Λακεδαιμονίων οὐχ ὅπλοις, οὐδὲ ναυσίν, οὐδ' ἵπποις, εὐγνωμοσύνῃ[459] δὲ καὶ πολιτείᾳ[460] τὴν ἡγεμονίαν, παρελόμενος[461]. Προσφιλεῖς γὰρ ὄντας τοὺς Ἀθηναίους τοῖς Ἕλλησι διὰ τὴν Ἀριστείδου δικαιοσύνην καὶ τὴν Κίμωνος ἐπιείκειαν, ἔτι μᾶλλον ἡ Παυσανίου πλεονεξία καὶ βαρύτης ποθεινοὺς ἐποίει. Τοῖς τε γὰρ ἄρχουσι τῶν συμμάχων ἀεὶ μετ' ὀργῆς ἐνετύγχανε καὶ τραχέως, τούς τε πολλοὺς[462] ἐκόλαζε πληγαῖς, ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς[463] ἠνάγκαζεν ἑστάναι δι' ὅλης τῆς ἡμέρας. Στιβάδα[464] δ' οὐκ ἦν[465] λαβεῖν, οὐδὲ χόρτον, οὐδὲ κρήνῃ προσελθεῖν ὑδρευσόμενον οὐδένα πρὸ τῶν Σπαρτιατῶν, ἀλλὰ μάστιγας ἔχοντες ὑπηρέται τοὺς προσιόντας ἀπήλαυνον. Ὑπὲρ ὧν[466] τοῦ Ἀριστείδου ποτ' ἐγκαλέσαι[467] καὶ διδάξαι βουλομένου, συναγαγὼν[468] τὸ πρόσωπον ὁ Παυσανίας, οὐκ ἔφη σχολάζειν[469], οὐδ' ἤκουσεν. Ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ

450) Χύσας σπονδήν. 451) Ὅτι ὁ δῆμος δὲν ἦτον πλέον εὔκολος εἰς τὸ νὰ βιάζηται. 452) Δηλ. δημοκρατίαν. 453) Πρότασις ἡ ὁποία ὑποβαλλομένη εἰς τὸν δῆμον καὶ ἐπικυρουμένη μετεβάλλετο εἰς ψήφισμα. 454) Νὰ τὸ συζητήσῃ μετ' αὐτοῦ. 455) Παρουσιασθεὶς Α. Σ. Ω. 456) Ὅτι καμμία ἄλλη δὲν εἶναι οὔτε λυσιτελεστέρα. 457) Συναναστρεφόμενος. 458) Καθιστῶν εἰς τὰς ἐκστρατείας τὸν Κίμωνα εὐπροσήγορον πρὸς τοὺς συμμάχους καὶ δημοτικόν. 459) Καλογνωμία, ἐπιείκεια. 460) Συμπεριφορά. 461) Ἀνεπαισθήτως ἀφῄρεσεν ἀπὸ τοὺς Λακ. τὴν ἡγεμονίαν, δηλ. τὸ προστάσσειν τῆς ἄλλης συμμαχίας. 462) Τοὺς κοινούς, τοὺς μὴ ἄρχοντας. 463) Θέτων ἐπ' αὐτῶν, εἰς τοὺς ὤμους των ἄγκυραν, τοὺς ἠνάγκαζε νὰ στέκωνται ὄρθιοι ὅλην τὴν ἡμέραν. 464) Στιβάδα καλάμων ἢ στρῶμα. 465) Δὲν ἦτον συγχωρημένον. 466) Διὰ τὰ ὁποῖα ταῦτα. 467) Νὰ τὸν μεμφθῇ. 468) Ζαρώσας. 469) Ἔφη οὐ σχολάζειν· ὅτι δὲν ἔχει καιρόν.

ΙΩΑΝΝΙΝΑ 2006

ἔδραμον πανταχόθεν, ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. Ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων[878] ἀναπείσαντες οὐκ ὀλίγους, καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις[879] συνεπιθεμένων. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὅν φησι κωμῳδῶν Ἀριστοφάνης[880] καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι στρατιὰν ἀπαιτεῖν. Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν, μηδ' ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ' ἐᾷν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνά, φησι, Κριτίας, τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ[881] θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν[882]. Ὁ δὲ Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα[883] τοὺς Ἀθηναίους ἐκίνησε, παρακαλῶν μήτε τὴν Ἑλλάδα χωλήν, μήτε τὴν πόλιν ἑτερόζυγα[884] περιϊδεῖν γεγενημένην.

Ἐπεὶ δὲ βοηθήσας τοῖς Λακεδαιμονίοις, ἄπεισι[885] διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος[886] αὐτῷ, πρὶν ἐντυχεῖν[887] τοῖς πολίταις εἰσαγαγόντι τὸ στράτευμα. Καὶ γὰρ θύραν κόψαντας[888] ἀλλοτρίαν, οὐκ εἰσιέναι, πρότερον, ἢ τὸν κύριον κελεῦσαι. Καὶ ὁ Κίμων· « Ἀλλ' οὐχ ὑμεῖς, εἶπεν, ὦ Λάχαρτε, τὰς Κλεωνίων[889] καὶ Μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάσασθε[890] μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς μεῖζον δυναμένοις ». Οὕτω μὲν ἐθρασύνετο[891] πρὸς τὸν Κορίνθιον ἐν δέοντι, καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. Οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν[892] ἐπὶ τοὺς ἐν Ἰθώμῃ[893] Μεσσηνίους καὶ Εἵλωτας· ἐλθόντας δέ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα[894] δείσαντες, ἀπεπέμψαντο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. Οἱ δέ, πρὸς ὀργὴν[895] ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον, καὶ τὸν Κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως, ἐξωστράκισαν εἰς ἔτη δέκα. Τοσούτου[896] γὰρ ἦν χρόνου τεταγμένον ἀπεῖναι τοῖς ἐξοστρακιζομένοις. Ἐν δὲ τούτῳ[897] τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες[898], ἐν Τανάγρᾳ[899] καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων[900] δὲ μετὰ τῶν ὅπλων ἧκεν εἰς τὴν αὑτοῦ φυλὴν τὴν Οἰνηΐδα[901], πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ τῶν πολιτῶν. Ἡ δὲ βουλὴ τῶν πεντακοσίων[902] πυθομένη, καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ

---

878) Ἐπίσης ἀρχαῖοι κάτοικοι τῆς Λακωνίας γεωργοὶ ἀλλ' ὄχι δοῦλοι τῶν Σπαρτιατῶν ἴσως διότι κατὰ τὴν εἰσβολὴν τῶν Δωριέων εἶχον παραδοθῆ διὰ συνθηκῶν.

879) Συνεπιθεμένων τοῖς Σπ. 880) Ἐν τῇ Κωμῳδ. Λυσιστράτη, στίχ. 1138—1141.

881) Ἐν ὑστέρῳ λόγῳ. Θεωρήσας ὡς δευτερεύουσαν. 882) 400 κατὰ τὸν Ἀριστοφ.

883) Ὡς ἔγγιστα. 884) Δηλ. χωρὶς τὸ ταίρι της, τὴν Σπάρτην. 885) Ἀναχωρεῖ ἐκ Λακεδαίμονος. 886) Εἷς τῶν προὐχόντων Κορινθίων. 887) Νὰ συνεννοηθῇ. 888) Οἱ κτυπήσαντες. 889) Κλεωναί, πόλις εἰς τὴν Ἀργολίδα. 890) Εἰσήλθετε διὰ τῆς βίας.

891) Θρασέως ὡμίλησε. 892) Κατ' ἄλλους ἱστορικοὺς ἅπαξ μόνον ἐξεστράτευσαν οἱ Ἀθηναῖοι. 893) Φρούριον τῆς Μεσσηνίας. 894) Αὐτῶν. 895) Παρωργισμένοι. 896) Διὰ τοιοῦτον. 897) Τῷ χρόνῳ. 898) Οἱ Φωκεῖς εἶχον κυριεύσει τοὺς Δελφούς. Οἱ δὲ Λακεδαιμόνιοι ἐξεστράτευσαν κ' ἠλευθέρωσαν τὸ μαντεῖον τοῦ προστάτου θεοῦ των Ἀπόλλωνος. 899) Πόλις τῆς Βοιωτίας. 900) Ἐν ᾧ ἦτον ἐξόριστος. 901) Μία τῶν δέκα φυλῶν. 902) Ἡ βουλὴ τῶν Ἀθηναίων ἐκ πεντακοσίων κληρουμένων κατ' ἔτος ἀπὸ 50 δὲ ἑκάστης φυλῆς.

καταβοώντων, ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. Κἀκεῖνος μὲν ᾤχετο, δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου[503], καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν[504] εἶχον, ἐρρωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν[505] πρὸς τοὺς πολίτας. Οἱ δὲ λαβόντες αὐτοῦ τὴν πανοπλίαν, εἰς τὸν λόχον ἔθεντο· καὶ μετ' ἀλλήλων συστάντες ἐκθύμως, ἑκατὸν ὄντες, ἔπεσον, πολὺν αὑτῶν πόθον καὶ μεταμέλειαν, ἐφ' οἷς ᾐτιάθησαν ἀδίκως, ἀπολιπόντες τοῖς Ἀθηναίοις. Ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μέν, ὡς εἰκός, ὧν ἔπαθον εὖ[506] μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου[507]. Νενικημένοι γὰρ ἐν Τανάγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους[508] στρατιὰν Πελοποννησίων ἐπ' αὐτούς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε[509], τὸ ψήφισμα γράψαντος Περικλέους. Οὕτω τότε πολιτικαὶ[510] μὲν ἦσαν αἱ διαφοραί, μέτριοι δ' οἱ θυμοί, καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι[511] συμφέρον· ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθών, ἔλυσε τὸν πόλεμον, καὶ διήλλαξε τὰς πόλεις. Γενομένης δ' εἰρήνης, ὁρῶν τοὺς Ἀθηναίους ἡσυχίαν ἄγειν[512] μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι, μηδὲ περὶ τὰς νήσους ἢ Πελοπόννησον ἀναστρεφόμενοι[513] ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων, καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ' Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκστρατευσόμενος· ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι[514] βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως, τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. Ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς ναυσὶν ὄντος, ὄναρ εἶδεν ὁ Κίμων. Ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτόν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν[515] ἀνθρώπου φθόγγον εἰπεῖν·

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσιν.

Οὕτω δὲ δυσκρίτου[516] τῆς ὄψεως οὔσης, Ἀστύφιλος ὁ Ποσειδωνιάτης[517], μαντικὸς ἀνήρ, καὶ συνήθης[518] τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν[519]. Κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ' οὐκ ἄν τις μᾶλλον ἢ τελευτήσας, φίλος γένοιτο. Τὸ δὲ μῖγμα τῆς φωνῆς[520] Μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν· ὁ γὰρ Μήδων στρατὸς Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. Μετὰ δὲ ταύτην τὴν ὄψιν, αὐτοῦ τῷ Διονύσῳ θύ-

---

503) Ἀνάφλυστος, δῆμος τῆς Ἀττικῆς πρὸς τὸ Σούνιον, τὴν σήμερον Ἀνάβυσσος.
504) Κατηγορίαν. 505) Νὰ ἀπαλλαχθῶσι τῆς κατηγορίας ἀπέναντι τῶν πολ. 506) Εὐεργετήθησαν. 507) Συντελοῦντος τοῦ καιροῦ εἰς τὸ νὰ λησμονήσωσι τὸν θυμόν των.
508) Τὴν ἀρχομένην ἄνοιξιν. 509) Ἐπέστρεψεν εἰς τὴν πατρίδα του. 510) Ὡς παρ' ἡμῖν εὐγενεῖς. 511) Εὐκόλως ἀνακαλούμενοι, πραϋνόμενοι. 512) Νὰ ἡσυχάζωσι.
513) Περιφερόμενοι. 514) Νὰ γυμνάζωνται εἰς τοὺς ἀγῶνας. 515) Ἐβγάζουσαν.
516) Δυσεξηγήτου. 517) Ἐκ Ποσειδωνίας τῆς Ἰταλίας. 518) Σχετικός. 519) Ἀναλύων, κρίνων. Δ. Κ. Β.) 520) Μετὰ τῆς ὑλακῆς.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ. της Ε.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σαντος, ὁ μὲν μάντις ἀπέτεμε[321] τὸ ἱερεῖον, τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα, καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες[322]. Ἅμα δέ πως ὅ τε Κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης[323] ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν[324] οὐκ ἔχοντα κεφαλήν. Ἀλλ', οὐ γὰρ ἦν ἀνάδυσις[325] τῆς στρατείας, ἐξέπλευσε, καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν[326] ἔπλει. Καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν[327] βασιλικὸν στόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ[328] πόλεις, καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν[329], οὐδὲν μικρὸν, ἀλλ' ὅλης ἐπινοῶν[330] τῆς βασιλέως ἡγεμονίας κατάλυσιν· καὶ μάλιστα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς βαρβάροις μεγάλην[331], ὑποδεδεγμένου[332] βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον στρατηγήσειν. Θεμιστοκλῆς μὲν οὖν οὐχ ἥκιστα λέγεται τὰς Ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος[333] τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος[334] ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς Ἄμμωνος[335] ἄνδρας, ἀπόῤῥητόν τινα μαντείαν ποιησομένους[336] παρὰ τῷ Θεῷ. Γινώσκει γὰρ οὐδεὶς, ὑπὲρ ὧν ἐπέμφθησαν· οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν. Ἀλλ' ἅμα τῷ προσελθεῖν[337] ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους[338]· αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα[339]. Ταῦτ' ἀκούσαντες οἱ θεοπρόποι κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δ' ἐν τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνάναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον[340] ἀνάγοντες[341], ἔγνωσαν ᾐνιγμένην[342] τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος.

Ἀπέθανε δὲ πολιορκῶν Κίτιον[343], ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. Τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ καὶ συνέβη, μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι[344], στρατηγουμένους ὑπὸ Κίμωνος, ὥς φησι Φανόδημος[333], τεθνηκότος ἐφ' ἡμέρας[345] τριάκοντα. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς ἐπράχθη, στρατηγούντων Ἑλλήνων[346], ἀλλὰ τραπέντες ὑπὸ δη-

---

321) Ἔσφαξε. 322) Μὴ ἐννοούμενοι. 323) Ὁ ἱερεὺς ὅστις ἐσφαγίαζε. 324) Τὸ αὐτὶ τοῦ σηκωτίου τὸ ὁποῖον ἐξέταζον οἱ μάντεις. 325) Παραίτησις ἢ ἀναβολὴ δὲν ἦτον τόσον δυνατή. 326) Δυσνόητον τὸ πάλιν. Μήπως πρέπει: ἄλλῃ ἢ ἄλλησι;

327) Ἐκ Κιλικίας, ἐπαρχ. τῆς Μικρᾶς Ἀσίας. 328) Τὰς πέριξ. Κατ' ἄλλους: τὰς ἐν Κύπρῳ. 329) Παρεφύλαττε. 330) Μελετῶν. 331) Ὁ Θεμιστοκλῆς διωχθεὶς ἀπὸ τὰς Ἀθήνας εἶχε καταφύγει εἰς τὸν βασιλ. τῶν Περσ. 332) Ἀναδεχθέντος νὰ στρατηγήσῃ ὑπὲρ τοῦ βασιλ. 333) Ἀπελπίσας τὸ νὰ ὑπερβῇ τὸν Κίμωνα κατὰ τὴν εὐτυχίαν καὶ ἀρετήν. 334) Διεγείρων. 335) Μαντεῖον τοῦ Διὸς εἰς Λιβύαν εἰς τὰ μεσόγεια τῆς Ἀφρικῆς. 336) Ἴσως ποιησομένους, νὰ ἐρωτήσωσι. 337) Ἅμα προσῆλθον.

338) Τοὺς σταλμένους νὰ ἐρωτήσωσι τὸν θεόν. 339) Εἰπών. Κ. § 442, 1Α'. δ.

340) Τὴν ἀπόκρισιν τοῦ μαντείου. 341) Ἀναφέροντες, ἀπολογίζοντες. 342) Ὅτι ἐγίνετο παρὰ τοῦ χρησμοῦ. 343) Πόλις τῆς Κύπρου. 344) Ν' ἀναχωρήσωσι.

345) Ἐν διαστήματι ἡμερῶν. 346) Δηλ. μέχρις ὅτου ἐστρατήγησεν ὁ Μακεδὼν Ἀλέξανδρος.

μαγωγῶν καὶ πολεμοποιῶν[547] ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διασχόντος[548], συνεῤῥάγησαν[549] εἰς τὸν πόλεμον· ἀναπνοὴ[550] μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόνον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. Ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον[551], εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα βραχέος ἥψαντο[552] πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ[553] βασιλέως στρατηγούς· καὶ λαμπρὸν οὐδὲν, οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες[554], ᾤχοντο τοὺς Περσῶν φορολόγους[555] ἐν μέσαις ταῖς συμμάχοις καὶ φίλαις πόλεσιν ἀπολιπόντες· ὧν[556] οὐδὲ γραμματοφόρος κατέβαινεν, οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων σταδίων ἐντὸς ὤφθη, στρατηγοῦντος Κίμωνος. Ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ μαρτυρεῖ τῶν μνημάτων τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ[557] φησίν, ἐν λιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. Τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών[558].

---

547) Κινούντων ἐμφυλίους πολέμους. 548) Θέντος ἐν μέσῳ διὰ νὰ τοὺς χωρίσῃ. 549) Συνεκρούσθησαν. 550) Ἀνάπαυσις εἰς τὰς ὑποθέσεις τοῦ β. 551) Ὁ Ἀγησίλαος. 552) Ἤρχισαν μικρὸν πόλεμον. 553) Τοὺς στρατηγοῦντας εἰς τὰ παραθαλάσσια. 554) Ἀφ' ἑτέρας ἀφορμῆς ἐμπεριπλακέντες. 555) Τοὺς σταλλομένους ὑπὸ τοῦ βασιλέως διὰ νὰ συνάξωσι τῶν ὑπηκόων τοὺς φόρους. 556) Περσῶν. 557) Ῥήτωρ Ἀθηναῖος. 558) Κίμων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΡΓΑΣΤΗΡΙΟΥ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006